ἐστι λέγει, ὃ ἀποδεικτικῆς ὂν τυγχάνει· μέμφεται οὖν αὐτῷ διὰ τοῦτο· ἄλλως τε καὶ διὰ τὰ πάρισα καὶ ὁμοιοκατάληκτα, κατακορῆ γὰρ ταῦτα γινόμενα ἀηδῆ εἰσιν, εἰ καὶ τῆς εὐπρεποῦς ἰδέας οἴονται ταῦτα εἶναι, οἷον Παυσανίου δὲ παυσαμένου καὶ τὰ τοιαῦτα· οὕτω γοῦν καὶ αὐτὸς νῦν κέχρηται· φησὶν γὰρ ἐμπειρία καὶ ἀπειρία καὶ κατὰ τέχνην καὶ κατὰ τύχην καὶ πάλιν ἄλλοι ἄλλων ἄλλως· ταῦτα δὲ ὁμοιοκατάληκτα. ἰστέον δὲ ὅτι ὡς φησὶν ὁ Σωκράτης ταῦτα τὰ ῥήματα ὡς ἐξ αὐτοσχεδίου λέγει· κατὰ ἀλήθειαν δὲ προσκεψάμενος ἦν καὶ ἀπογραψάμενος ἐν χάρτῃ καὶ ἐμμελετήσας· δεῖ δὲ κἀκεῖνο εἰδέναι, ὅτι οὐδὲ τὸ ὁποῖον τί ἐστιν ἔσωσεν ὁ Πῶλος· ἔδει γὰρ τὸ κατ' οὐσίαν εἰπεῖν, αὐτὸς δὲ τὸ κατὰ συμβεβηκὸς ἔλαβεν, ἐπῄνεσεν γὰρ τὴν ῥητορικήν· ἐγκώμιον οὖν εἶπεν αὐτῆς καὶ οὐ τὴν οὐσίαν ἐζήτησεν, κακεῖνο δὲ ἥμαρτεν εἰρηκώς, ὅτι ἡ ἐμπειρία ποιεῖ τὸν αἰῶνα ἡμῶν ἀντὶ τοῦ τὸν χρόνον ἡμῶν πορεύεσθαι κατὰ τέχνην, ἀπειρία δὲ κατὰ τύχην· κακῶς οὖν εἶπεν· δεῖ γὰρ εἰδέναι, ὅτι πέντε ταῦτά ἐστιν· αἴσθησις, μνήμη, πεῖρα, ἐμπειρία, τέχνη· καὶ ἡ μὲν αἴσθησις ὑποφαίνει ἡμῖν πάντα, λοιπὸν δὲ ἡ μνήμη κρατεῖ, εἶτα πεῖρα παραδίδωσιν, ἐντεῦθεν ἔμπειροι γινόμεθα, εἶτα τεχνῖται· διαφέρει τοίνυν ἐμπειρία πείρας, ὅτι ἡ μὲν ἐμπειρία καὶ ἐπὶ πράξεων λέγεται, ἡ δὲ πεῖρα ἐπὶ τῶν κατὰ μέρος τεχνιτῶν, καὶ πάλιν ἡ πεῖρα μέν ἐστιν ἡ περὶ τὰ κατὰ μέρος καταγινομένη, ἐμπειρία δὲ ἡ περὶ τὰ καθολικώτερα, πάλιν δὲ ἐμπειρία μέν ἐστιν ἡ τὸ ὅτι εἰδυῖα, τέχνη δὲ ἡ καὶ τὸ διότι· κακῶς τοίνυν εἶπεν, ὅτι ἡ ἐμπειρία τὴν τέχνην ποιεῖ, εἴ γε χείρων ἡ ἐμπειρία, εἰ γὰρ τοῦτο τὰ κρείττονα ἐκ τῶν χειρόνων γίνεται· καὶ ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί· ὡσαύ-

---

4 Plat. Conv. 185 c

---

18 mg. α' αἴσθησις ὑποφαίνει ἡμῖν πάντα
β' μνήμη διαφυλάττει τὰ ἐξ αἰσθήσεως
γ' πεῖρα περὶ τὰ μερικὰ καταγίνεται
δ' ἐμπειρία καὶ ἐπὶ πραξέων λέγεται καὶ περὶ τὰ καθολικὰ καταγίνεται καὶ τὸ ὅτι μόνον
ε' τέχνη περὶ τῶν εἰρημένων τριῶν καταγίνεται καὶ τὸ διότι οἶδεν

28 mg. παροιμία ἐπὶ τῶν ἀνάπαλιν γινομένων